ρισμοῖς τε καὶ ἀναθεματισμοῖς τρέμω ὡς ἱερὰν καὶ θείαν ἀπόφασιν, περί τε τῶν λατινικῶν δογμάτων ὁροθετοῦσαν καὶ περὶ τοῦ μνημοσύνου τοῦ Πάπα τὰ πρέποντα. Ἐμμένω τῇ ὑποσχέσει ᾗ ὑπεσχόμην μεθισταμένῳ πρὸς τὸν Θεὸν τῷ μακαρίῳ Ἐφέσου, Θεοῦ καὶ ἀγγέλων καὶ ἀνθρώπων ἐνώπιον, ταῖς διαλέξεσιν ἃς διελέχθην πρὸς τὸν ἐπίσκοπον Κορτώνης ἐπὶ ἀναδείξει τῆς καθ' ἡμᾶς ἀληθείας, καὶ τοῖς πολλοῖς καὶ διαφόροις συγγράμμασιν, ἅπερ ὑπὲρ τῆς πατρίου πίστεως ἐξεθέμην δώρῳ Θεοῦ, τῇ Ὁμολογίᾳ τῆς πίστεως μου, μᾶλλον δὲ τῆς καθολικῆς Ἐκκλησίας, ἣν πρὸ τριῶν ἐνιαυτῶν ἐπεξειργασμένως ἐξέδωκα, καὶ ταῖς ὑπογραφαῖς ἃς μετὰ τῶν τότε συμφωνούντων ἐκκλησιαστικῶν ὑπεγράψαμεν ἐν τῷ τοῦ λεγάτου καιρῷ, καὶ ὕστερον μετὰ τὴν πρεσβείαν τοῦ Κὺρ Βρυεννίου, ᾗς οὐκ ἐκοινώνησα τοῦ μὴ δέξασθαι ἡμᾶς ποτε τὸ τοῦ Πάπα μνημόσυνον, ἕως ἂν ὦμεν περὶ τὰ καίρια τῆς πίστεως δόγματα διῃρημένοι τε καὶ ἀσύμφωνοι πρὸς αὐτὸν κατὰ τὴν ἀπόφασιν τῆς εἰρημένης Συνόδου καὶ τῶν ἁγίων Πατέρων ἡμῶν καὶ καθηγεμόνων πάντων κτλ. (α).

Σύνοδος ἐν Ἱεροσολύμοις. Ἐν ἔτει 1443 κατὰ μῆνα Ἀπρίλιον συνεκροτήθη Σύνοδος ἐν Ἱεροσολύμοις ὑπὸ τῶν Πατριαρχῶν Ἀλεξανδρείας Φιλοθέου, Ἀντιοχείας Δωροθέου καὶ Ἱεροσολύμων Ἰωακείμ, παρουσιάσαντος καὶ τοῦ Καισαρείας Ἀρσενίου, οἵτινες τὴν μὲν Φλωρεντινὴν Σύνοδον ὡς ἄθεσμον καὶ μιαρὰν κατέκριναν, τὸν δὲ λατινόφρονα Πατριάρχην Κωνσταντινουπόλεως Μητροφάνην (ὃν Μητροφόνον καλεῖ) καὶ τοὺς ὑπ' αὐτοῦ χειροτονηθέντας ἐπισκόπους καὶ ἱερεῖς καθεῖλον. Ἐξεδόθη ἡ συνοδικὴ αὕτη ἀπόφασις ὑπὸ Ἀλλατίου ἐν de perp. consens. σελ. 933 καὶ ἐν τέλει τῆς τοῦ Πατριάρχου τῶν Ἱεροσολύμων Νεκταρίου Ἀντιρρήσεως περὶ τῆς ἀρχῆς τοῦ Πάπα.

(α) Χειρόγρ. Μόσχας ὑπ' ἀριθμὸν 208.